γυίων κ̣[ατέ]χ̣ουcι νέων
12 κῶμοί τε καὶ εὐφροcύναι θεότιμον ἄcτυ·
ὑμνεῦcι δὲ Πυθιόνικον
παῖδα θαητὸν Φαΐcκου.

1 ἵλεῶι [ν]ιν ὁ Δα̣[λ]ογενὴc υἱ-
ὸc βαθυζών[οιο] Λατοῦc
3 δέκτ[ο] β̣|λεφ[άρω]ι̣· πολέεc
δ᾽ ἀμφ᾽ Ἀλεξ[ίδα]μον ἀνθέων
5 ἐν πεδίωι cτέφανοι
Κίρραc ἔπεcον κρατερᾶc
ἦρα παννίκοι⟨ο⟩ πάλαc·
8 οὐκ ε̣[ἶ]δέ νιν ἀέλιοc
κε[ίν]ωι γε cὺν ἄματι πρὸc γαίᾱι πεcόντα.
10 φάcω δὲ καὶ ἐν ζαθέοιc
ἀγ|νοῦ Πέλοποc δαπέδοιc
12 Ἀλφεὸν πάρα καλλιρόαν, δίκαc κέλευθον
εἰ μή τιc ἀπέτ|ραπεν ὀρθᾶc,
παγξένωι χαίταν ἐλαίᾱι

1 γλαυκᾶι cτεφανωcάμενον
πορτιτ|ρόφο̣ν̣ [. . . .].΄[. . . . .]ρ̣α̣ν θ᾽ ἱκέcθαι.
3 – ∪ ∪ – ∪∪ –
col 24 (20) παῖδ᾽ ἐν χθονὶ καλλιχόρωι